W. G. Pierpont, M. A. Robinson and J. J. Dodson (eds.),
*The New Testament in the Original Greek: Byzantine Textform* VTR Publication, 2011, p. 115-116.
With the kind fair use authorization of Maurice Robinson.

The 2011 printed edition is followed by the 2005 pdf edition, of free reuse:
https://byzantinetext.com/study/editions/robinson-pierpont/

SNSF project MARK16, https://mark16.sib.swiss



16 Καὶ διαγενομένου τοῦ σαββάτου, Μαρία ἡ Μαγδαληνὴ
καὶ Μαρία ⸀Ἰακώβου⸁ καὶ Σαλώμη ἠγόρασαν ἡ τοῦ Ἰακώβου
ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσιν αὐτόν. [2] Καὶ λίαν πρωῒ τῆς
μιᾶς σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ
ἡλίου. [3] Καὶ ἔλεγον πρὸς ἑαυτάς, Τίς ἀποκυλίσει ἡμῖν τὸν
λίθον ἐκ τῆς θύρας τοῦ μνημείου; [4] Καὶ ἀναβλέψασαι
θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος· ἦν γὰρ μέγας σφόδρα.
[5] Καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον, εἶδον νεανίσκον καθήμενον
ἐν τοῖς δεξιοῖς, περιβεβλημένον στολὴν λευκήν· καὶ
ἐξεθαμβήθησαν. [6] Ὁ δὲ λέγει αὐταῖς, Μὴ ἐκθαμβεῖσθε·
Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον· ἠγέρθη,
οὐκ ἔστιν ὧδε· ἴδε, ὁ τόπος ὅπου ἔθηκαν αὐτόν. [7] Ἀλλ᾽
ὑπάγετε, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ Πέτρῳ ὅτι Προάγει
ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν.
[8] Καὶ ἐξελθοῦσαι ἔφυγον ἀπὸ τοῦ μνημείου· εἶχεν δὲ αὐτὰς
τρόμος καὶ ἔκστασις· καὶ οὐδενὶ οὐδὲν εἶπον, ἐφοβοῦντο γάρ.

[9] Ἀναστὰς δὲ πρωῒ πρώτῃ σαββάτου ἐφάνη πρῶτον Μαρίᾳ
τῇ Μαγδαληνῇ, ἀφ᾽ ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια. [10] Ἐκείνη
πορευθεῖσα ἀπήγγειλεν τοῖς μετ᾽ αὐτοῦ γενομένοις, πενθοῦσιν
καὶ κλαίουσιν. [11] Κἀκεῖνοι ἀκούσαντες ὅτι ζῇ καὶ ἐθεάθη ὑπ᾽
αὐτῆς ἠπίστησαν.

[12] Μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν ἐφανερώθη
ἐν ἑτέρᾳ μορφῇ, πορευομένοις εἰς ἀγρόν. [13] Κἀκεῖνοι
ἀπελθόντες ἀπήγγειλαν τοῖς λοιποῖς· οὐδὲ ἐκείνοις
ἐπίστευσαν.

[14] Ὕστερον ἀνακειμένοις αὐτοῖς τοῖς ἕνδεκα ἐφανερώθη,
καὶ ὠνείδισεν τὴν ἀπιστίαν αὐτῶν καὶ σκληροκαρδίαν, ὅτι
τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον οὐκ ἐπίστευσαν. [15] Καὶ
εἶπεν αὐτοῖς, Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, κηρύξατε τὸ
εὐαγγέλιον πάσῃ τῇ κτίσει. [16] Ὁ πιστεύσας καὶ βαπτισθεὶς
σωθήσεται· ὁ δὲ ἀπιστήσας κατακριθήσεται. [17] Σημεῖα δὲ τοῖς

16.1 Ἰακώβου • ἡ [τοῦ] Ἰακώβου
16.2 τῆς μιᾶς • τῇ μιᾷ τῶν
16.7 Ἀλλ᾽ • Ἀλλὰ
16.8 δὲ • γὰρ
16.8 εἶπον • εἶπαν
16.8 γάρ • γάρ + || shorter ending ||
16.9 Ἀναστὰς • || Ἀναστὰς
16.9 ἀφ᾽ • παρ᾽
16.14 ἀνακειμένοις • [δὲ] ἀνακειμένοις

πιστεύσασιν ταῦτα παρακολουθήσει· ἐν τῷ ὀνόματί μου
δαιμόνια ἐκβαλοῦσιν· γλώσσαις λαλήσουσιν καιναῖς·
[18] ὄφεις ἀροῦσιν· κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς
βλάψῃ· ἐπὶ ἀρρώστους χεῖρας ἐπιθήσουσιν, καὶ καλῶς
ἕξουσιν.

[19] Ὁ μὲν οὖν κύριος, μετὰ τὸ λαλῆσαι αὐτοῖς, ἀνελήφθη εἰς
τὸν οὐρανόν, καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ θεοῦ. [20] Ἐκεῖνοι δὲ
ἐξελθόντες ἐκήρυξαν πανταχοῦ, τοῦ κυρίου συνεργοῦντος, καὶ
τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων.
Ἀμήν.

16.18 ὄφεις • [καὶ ἐν ταῖς χερσὶν] ὄφεις
16.19 κύριος • κύριος Ἰησοῦς
16.19 ἀνελήφθη • ἀνελήμφθη
16.20 σημείων. Ἀμήν • σημείων.]]

ISBN: 0-7598-0077-4


16 Καὶ διαγενομένου τοῦ σαββάτου, Μαρία ἡ Μαγδαληνὴ
καὶ Μαρία ⸀Ἰακώβου⸀ καὶ Σαλώμη ἠγόρασαν ἡ τοῦ Ἰακώβου
ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσιν αὐτόν. 2 Καὶ λίαν πρωῒ τῆς
μιᾶς σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ
ἡλίου. 3 Καὶ ἔλεγον πρὸς ἑαυτάς, Τίς ἀποκυλίσει ἡμῖν τὸν
λίθον ἐκ τῆς θύρας τοῦ μνημείου; 4 Καὶ ἀναβλέψασαι
θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος· ἦν γὰρ μέγας σφόδρα.
5 Καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον, εἶδον νεανίσκον καθήμενον
ἐν τοῖς δεξιοῖς, περιβεβλημένον στολὴν λευκήν· καὶ
ἐξεθαμβήθησαν. 6 Ὁ δὲ λέγει αὐταῖς, Μὴ ἐκθαμβεῖσθε·
Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον· ἠγέρθη,
οὐκ ἔστιν ὧδε· ἴδε, ὁ τόπος ὅπου ἔθηκαν αὐτόν. 7 Ἀλλ᾽
ὑπάγετε, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ Πέτρῳ ὅτι Προάγει
ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν.
8 Καὶ ἐξελθοῦσαι ἔφυγον ἀπὸ τοῦ μνημείου· εἶχεν δὲ αὐτὰς
τρόμος καὶ ἔκστασις· καὶ οὐδενὶ οὐδὲν εἶπον, ἐφοβοῦντο γάρ.

9 Ἀναστὰς δὲ πρωῒ πρώτῃ σαββάτου ἐφάνη πρῶτον Μαρίᾳ
τῇ Μαγδαληνῇ, ἀφ᾽ ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια. 10 Ἐκείνη
πορευθεῖσα ἀπήγγειλεν τοῖς μετ᾽ αὐτοῦ γενομένοις, πενθοῦσιν
καὶ κλαίουσιν. 11 Κἀκεῖνοι ἀκούσαντες ὅτι ζῇ καὶ ἐθεάθη ὑπ᾽
αὐτῆς ἠπίστησαν.

12 Μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν ἐφανερώθη
ἐν ἑτέρᾳ μορφῇ, πορευομένοις εἰς ἀγρόν. 13 Κἀκεῖνοι
ἀπελθόντες ἀπήγγειλαν τοῖς λοιποῖς· οὐδὲ ἐκείνοις
ἐπίστευσαν.

14 Ὕστερον ἀνακειμένοις αὐτοῖς τοῖς ἕνδεκα ἐφανερώθη,
καὶ ὠνείδισεν τὴν ἀπιστίαν αὐτῶν καὶ σκληροκαρδίαν, ὅτι
τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον οὐκ ἐπίστευσαν. 15 Καὶ
εἶπεν αὐτοῖς, Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, κηρύξατε τὸ
εὐαγγέλιον πάσῃ τῇ κτίσει. 16 Ὁ πιστεύσας καὶ βαπτισθεὶς
σωθήσεται· ὁ δὲ ἀπιστήσας κατακριθήσεται. 17 Σημεῖα δὲ τοῖς

---

16.1 Ἰακώβου ♦ ἡ [τοῦ] Ἰακώβου
16.2 τῆς μιᾶς ♦ τῇ μιᾷ τῶν
16.7 Ἀλλ᾽ ♦ Ἀλλὰ
16.8 δὲ ♦ γὰρ
16.8 εἶπον ♦ εἶπαν
16.8 γάρ ♦ γάρ + [[ shorter ending ]]
16.9 Ἀναστὰς ♦ [[Ἀναστὰς
16.9 ἀφ᾽ ♦ παρ᾽
16.14 ἀνακειμένοις ♦ [δὲ] ἀνακειμένοις



Spine/Gutter Side


Copyright © 2005, Chilton Book Publishing Company

ISBN: 0-7598-0077-4




πιστεύσασιν ταῦτα παρακολουθήσει· ἐν τῷ ὀνόματί μου
δαιμόνια ἐκβαλοῦσιν· γλώσσαις λαλήσουσιν καιναῖς·
[18] ὄφεις ἀροῦσιν· κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς
βλάψῃ· ἐπὶ ἀρρώστους χεῖρας ἐπιθήσουσιν, καὶ καλῶς
ἕξουσιν.

[19] Ὁ μὲν οὖν κύριος, μετὰ τὸ λαλῆσαι αὐτοῖς, ἀνελήφθη εἰς
τὸν οὐρανόν, καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ θεοῦ. [20] Ἐκεῖνοι δὲ
ἐξελθόντες ἐκήρυξαν πανταχοῦ, τοῦ κυρίου συνεργοῦντος, καὶ
τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων.
Ἀμήν.

16.18 ὄφεις ♦ [καὶ ἐν ταῖς χερσὶν] ὄφεις
16.19 κύριος ♦ κύριος Ἰησοῦς
16.19 ἀνελήφθη ♦ ἀνελήμφθη
16.20 σημείων. Ἀμήν ♦ σημείων.]]



Spine/Gutter Side

/home/kchilton/grk/gnt.ps
Copyright © 2005, Chilton Book Publishing Company